ἑβδόμῳ ἔτει τὰ τίμια ξύλα ἀπὸ Περσίδος ἀναλαβὼν καὶ εἰς Ἱερουσαλὴμ παραγενόμενος καὶ ταῦτα ὑψώσας, μετὰ χαρᾶς καὶ εἰρήνης ἐπὶ Κωνσταντινούπολιν ὑπέστρεφεν [1]).

Ἐπὶ αὐτοῦ ἀνεφάνη Μωάμεθ, ὁ τῶν Σαρακηνῶν ἀρχηγός, ἐκ τῆς Αἰθρίβου ἀνελθών. Καὶ τῷ βασιλεῖ ὑπαντήσας μετὰ πλήθους, καὶ προσπεσὼν αὐτῷ, καὶ τόπον αἰτησάμενος εἰς κατοίκησιν, τετύχηκε τῆς ἐφέσεως [2]).

Ταῦτα τελέσας Ἡράκλειος ἐπὶ Κωνσταντινούπολιν ὑπέστρεψεν. Οἱ δὲ τῆς πόλεως τὴν ἔλευσιν αὐτοῦ γνόντες ἀκατασχέτῳ πόθῳ περὶ αὐτὸν πάντες οἱ [3]) ἐν τοῖς παλατίοις τῆς Ἡρίας ἐξῆλθον σὺν τῷ πατριάρχῃ καὶ Κωνσταντίνῳ βασιλεῖ, τῷ υἱῷ αὐτοῦ, βαστάζοντες κλάδους ἐλαιῶν καὶ λαμπάδας πρὸς ὑπαντήν, καὶ εὐφημοῦντες αὐτόν. Καὶ ὁ μὲν υἱὸς αὐτοῦ προσελθὼν ἔπεσεν εἰς τοὺς πόδας τοῦ πατρός· ὁ δὲ περιπλακεὶς αὐτόν, κατεφίλουν ἀλλήλους ἐν δάκρυσι. Καὶ οὕτως λαβόντες τὸν βασιλέα, εὐφημοῦντες καὶ χαίροντες εἰσῆλθον ἐν τῇ πόλει.

Οὗτος δὲ ὁ Ἡράκλειος, ὑπὸ Ἀθανασίου πατριάρχου τῶν Ἰακωβιτῶν καὶ Σεργίου τοῦ Σύρου Κωνσταντινουπόλεως ἀπατηθείς, εἰς τὴν αἵρεσιν τῶν Μονοθελητῶν ἐξεκυλίσθη. Καὶ δὴ μετὰ ταῦτα νόσῳ περιπεσὼν ὑδερικῇ, δι᾽ ἧς καὶ τέθνηκε, δεινῶς ἐτιμωρεῖτο· ἐπὶ τοσοῦτον γὰρ τὸ πάθος ἐπεκτάθη, ὡς, ἡνίκα ἀπουρεῖν ἔμελλε, σανίδα κατὰ τοῦ ἤτρου ἐπετίθει διὰ τὸ στρέφεσθαι τὸ αἰδοῖον αὐτοῦ καὶ κατὰ τοῦ προσώπου τὸ οὖρον ἀναπέμπειν. Ἔλεγχος δὲ ἦν τοῦτο τῆς ἑαυτοῦ παρανομίας ἕνεκεν τοῦ εἰς τὴν ἰδίαν ἀνεψιὰν Μαρτίναν παρανομωτάτου γάμου. Τελευτήσαντος δὲ τοῦ Ἡρακλείου κατετέθη ἐν λάρνακι, καὶ ἔμενεν ἀσκεπὴς ἡμέρας τέσσαρας· καὶ μετὰ ταῦτα ἐσκεπάσθη, καὶ συνετάφη αὐτῷ στέμμα χρυσοῦν διὰ λίθων [4]) τιμῆς λιτρῶν ἑβδομήκοντα.

Κωνσταντῖνος υἱὸς Ἡρακλείου. Κωνσταντῖνος υἱὸς Ἡρακλείου ἐβασίλευσεν ἔτος ἕν. Οὗτος φαρμακοῦται ὑπὸ τῆς ἰδίας μητρυιᾶς Μαρτίνης, καταλιπὼν τὸν υἱὸν Κώνσταν.

---

[1]) Lege ὑπέστρεψεν cum Georgio Hamartolo.

[2]) Sequitur nota ex Theophane narratio, quam alio loco habet G. Hamartolus Brevitati studens omisi cum ejus locum, tum Leonis Grammatici.

[3]) Abundat οἱ, coll. Georgio Hamartolo.

[4]) Lege διάλιθον (gemmatum).